καίων αὐτὴν καὶ περιφλέγων ἀκωμάντως. καὶ μὴ κατακαίων τὸ
σύνολον. τὰ σύμβολα τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτό-
κου διασημαινόμενος. μιχαὴλ ὁ τῶν πυρίνων λειτουργὸς νεύ-
σεσι θείαις πρωτεύων. καὶ τὴν γῆν διερχόμενος ἀποπληρῶν τὸ
παντοδύναμον θεῖον βούλημα. ὁ τὴν ἄλογον ὁρμὴν τοῦ μάν-
τεως βαλαὰμ κωλύσας τῇ φρικώδη αὐτοῦ ἐπιστασία. ὃν καὶ ἡ ὄνος
ἰδοῦσα καὶ φρίξασα, λογικῇ φωνῇ τὸν παραπλῆγα γέροντα ἐ-
σωφρόνιζεν. μιχαὴλ ὁ τρισμέγιστος δημαγωγὸς τῶν ἀγγέλων
καὶ κράτιστος διάκονος. καὶ λειτουργὸς ἐξοχώτατος τῆς ἐν τῷ συνᾶ
ὄρει δεδομένης θείας νομοθεσίας. ὁ τὴν τοῦ θεράποντος τοῦ
θεοῦ μωϋσέως ψυχὴν παραλαβών. καὶ τὸν ἐσκοτισμένον καὶ
παλαμναῖον διάβολον συνάραι λόγον περὶ τοῦ σώματος αὐτοῦ
ἐπιχειρήσαντα. καταργήσας καὶ θᾶττον ἐξαφανίσας. μιχαὴλ ὁ ἐρ-
μηνευόμενος ἀπὸ θεοῦ στρατηγὸς, καὶ ἀλκιμώτατος μαχητής. καὶ
πρόμαχος τῶν τὰς ἐλπίδας ἐχόντων ἐπικούριον. καὶ φλογίνη ῥομ-
φαία τέμνουσα τῶν νοητῶν καὶ αἰσθητῶν ἀντιπάλων τὰ μηχανή-
ματα. ὁ τῷ ἰησοῦν τοῦ ναυῆ τοῖς ὑπεναντίοις παραταξάμενος
ὀφθεὶς. σπασάμενος τὴν μάχαιραν καὶ τοῦτον καταπλήξας, τῇ ξέ-
νη αὐτοῦ καὶ φοβερᾷ θεωρία. καὶ συμπλακῆναι καὶ συγκόψαι
τοῖς θεομάχοις πολεμίοις προτρεψάμενος. μιχαὴλ ὁ πανύψιστος
καὶ πυρφόρος λαμπάς. τῆς ἀρχιφώτου καὶ μοναδικῆς. καὶ τρισηλ-
λίου θεότητος. καὶ λεπτῇ φύσεως κατασκευῇ. τὰ τῆς γῆς ἐ-
πίμως περινοστεῖ πέρατα. καὶ εὐσεβῶς ὡς βούλεται ὁ θεὸς ἐν
μετασχηματισμῷ ὀπτανόμενος. ὁ πρὸς τὸν γεδεὼν ἡλιοβόλως ἐλη-
λυθώς. καὶ παρ' αὐτοῦ ὡς θεῖος καὶ οὐράνιος ἄγγελος προσκυνη-
θείς. καὶ τῇ πυρίνη ῥάβδῳ ὁλοκαυτώσας αὐτοῦ τὴν βρῶσιν ἣν
προσενήνοχας. καὶ τοῦτο σὺν τριακοσίοις μόνοις ἀδυνάτοις ἐντυχή-
σας, κατὰ τοῦ ἀθεωτάτου ἀπείρου πλήθους τῶν μαδιηναίων. μι-
χαὴλ τὸ διειδέστατον καὶ ἀκηλίδωτον ἔσοπτρον τοῦ ἀρρήτου καὶ ἀ-
μηχάνου κάλλους τῆς θεαρχικῆς καὶ πηγαίας ἀκτῖνος καὶ ἀγλαΐ-
ας. καὶ ἠκονημένον βέλος τοῦ δυνατοῦ καὶ μεγάλου βασιλέως
θεοῦ. ὁ τῷ προφήτῃ νάθα θεαθεὶς ἐπιλαβόμενον τὸ δόρυ κατέ-
χων. καὶ θαρσοποιήσας αὐτὸν εἰς ἔλεγχον τοῦ θεοπάτορος δαβίδ.
ἕνεκα τοῦ ἐπισυμβάντος σφάλματος. καὶ θᾶττον ὡς φιλάγαθος
ὑποχωρήσας. ἡνίκα καὶ τῷ, ἡμάρτηκα τῷ κυρίῳ ἐκ βαθέων
καρδίας, παρὰ τοῦ βασιλέως δαβὶδ ἀκήκοεν. μιχαὴλ τὸ καθα-
ρὸν καὶ χωρητικὸν δοχεῖον τῆς πανολβίου φωτοχυσίας καὶ θείας
ἐλλάμψεως. καὶ τομώτατον καὶ ἀναιρετικὸν ξίφος τῶν βλασφημούν-
των τῶν εἰς κύριον. ὁ τὰς ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας τοῦ
δυσφήμου καὶ ἀθεωτάτου σενναχηρεὶμ βασιλέως ἀσσυρίων, ἐν μιᾷ

– γρ. ἐπιχειρήσαντος.

γρ. βούλεται ὁ θεὸς ἐν

θεί